*Suda* s.v. Ὅμηρος (iii. 526. 4 Adler) ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα· Ἀμαζονία, Ἰλιὰς μικρά, Νόστοι, Ἐπικιχλίδες, Ἠθιέπακτος ἤτοι Ἴαμβοι, Βατραχο{μαχία} μυο{βατραχο} μαχία, Ἀραχνομαχία, Γερανομαχία, Κεραμεῖς, Ἀμφιαράου ἐξέλασις, παίγνια, Σικελίας (l. Οἰχαλίας) ἅλωσις, Ἐπιθαλάμια, Κύκλος, Ὕμνοι, Κύπρια. Tzetz. *alleg. Hom.* proleg. 79 sqq.

τρία καὶ δέκα γέγραφε μνημόσυνον βιβλία,
Μαργίτην καὶ τὴν Αἶγά τε καὶ τῶν μυῶν τὴν μάχην...
καὶ τοὺς Ἑπτὰ ἐπ' Ἄκτιον, καὶ τὰς Ἐπικιγκλίδας.

# ION

Chius
ca. 480-422

**26** Ath. 447d τῷ δὲ ἡμετέρῳ χορῷ οἶνος φίλος †ον

θυρσοφόρος μέγα πρεσβεύων Διόνυσος.
αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων,
αἵ τε Πανελλήνων ἀγοραὶ θαλίαι τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑπὸ χθονίων
πτόρθον ἀνασχομένη θαλερῶι ἐπτύξατο πήχει
αἰθέρος· ὀφθαλμῶν δ' ἐξέθορον πυκινοὶ
παῖδες, φωνήεντες ὅταν πέσηι ἄλλος ἐπ' ἄλλωι,
πρὶν δὲ σιωπῶσιν· παυσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται, πόνον ὄλβιον ἀνθρώποισιν,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/138 UNIVERSITÄT LEIPZIG